# ΤΡΙΩΔΙΟΝ

## † Τῇ Κυριακῇ τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου.

Αἵρεσις παλαιὰ καὶ ἐπίσημος μεταξὺ τῶν Ἰουδαίων, ἦσαν οἱ Φαρισαῖοι, οἵτινες, πονηροὶ ὄντες καὶ ὑποκριταί, τὰς μὲν κακίας αὐτῶν ἔκρυπτον, πᾶσαν δὲ ὑποκριτικὴν αὐτῶν ἀρετὴν ἐδημοσίευον, ποιοῦντες πάντα τὰ ἔργα αὐτῶν πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις (Ματθ. κγ΄ 5) διὸ καὶ ἐνομίζοντο ὑπὸ πάντων ἐνάρετοι καὶ δίκαιοι, καὶ κατὰ τὴν φαινομένην τῆς ζωῆς ἁγιότητα, κεχωρισμένοι τῶν λοιπῶν, ὅπερ δηλοῖ καὶ τὸ ὄνομα Φαρισαῖος. Ἐξ ἐναντίας οἱ Τελῶναι, τουτέστιν οἱ ἀγοράζοντες τοὺς βασιλικοὺς φόρους, ἐπειδὴ εἰσπράττοντες αὐτοὺς ἐποίουν πολλὰς ἀδικίας καὶ ἁρπαγὰς δι' αἰσχροκέρδειαν, διὰ τοῦτο πάντες ἐλογίζοντο αὐτοὺς ἁμαρτωλοὺς καὶ ἀδίκους. Κατὰ τὴν τότε οὖν κοινὴν γνώμην, λαβὼν ὁ Ἰησοῦς ἕνα Φαρισαῖον, σημαίνοντα τὸν ἐνάρετον, καὶ ἕνα Τελώνην, δηλοῦντα τὸν ἁμαρτωλόν, ἐδίδαξε παραβολικῶς τῆς ὑπερηφανείας τὴν βλάβην καὶ τῆς ταπεινοφροσύνης τὴν ὠφέλειαν.




Ἐπειδὴ δέ, μετὰ τρεῖς ἑβδομάδας, ἐμβαίνομεν εἰς τὸ στάδιον τῆς ἁγίας τεσσαρακοστῆς καὶ εἰς τοὺς πνευματικοὺς τῆς ἀρετῆς ἀγῶνας, καὶ ἐπειδὴ πρῶτον ὅπλον πρὸς ἀρετήν ἐστιν ἡ ταπείνωσις, καθὼς ἐξ ἐναντίας ἡ ὑπερηφάνεια μέγιστον ἐμπόδιον εἰς αὐτήν, διὰ τοῦτο οἱ θεῖοι πατέρες τὰς μὲν ἑβδομάδας ταύτας ἐπενόησαν ὡς προετοιμασίαν ἡμῶν εἰς τοὺς εἰρημένους ἀγῶνας, δι' ἣν καὶ τὴν παροῦσαν ἑβδομάδα ἐκάλεσαν Προφωνήσιμον, ὡς προλέγουσαν τρόπον τινὰ καὶ κηρύττουσαν ὅτι ἤγγικε τῆς νηστείας ὁ καιρός· τὴν δὲ ἀνάγνωσιν τῆς τοῦ Τελώνου καὶ Φαρισαίου παραβολῆς ἔταξαν σήμερον, διδάσκοντες ἡμᾶς δι' αὐτῆς ἵνα μὴ ἐπαιρώμεθα, ὅταν πράττωμεν τὸ καλόν, μηδὲ καυχώμεθα δι' αὐτό, ὡς ὁ μεγάλαυχος Φαρισαῖος· ἀλλά, μαθόντες ἐκ τοῦ παραδείγματος ἐκείνου, ὅτι ὁ καπνὸς τῆς οἰήσεως καὶ τῆς καυχήσεως ἡ δυσωδία διώκει τὴν χάριν τοῦ Πνεύματος καί, ἀπογυμνοῦσα τὸν ἄνθρωπον πάσης ἀρετῆς κρημνίζει αὐτὸν εἰς τοῦ ᾅδου τὰ βάραθρα, δεώμεθα μετὰ συντετριμμένης καρδίας τοῦ Θεοῦ, μιμούμενοι τοῦ Τελώνου τὴν ταπείνωσιν, ἥτις κἂν ἁμαρτωλὸς ὑπάρχῃ ὁ ἄνθρωπος, κἂν εἰς ἔσχατα περιπέσῃ κακά, δικαιοῖ αὐτὸν καὶ εἰς ὕψος ἀναβιβάζει μέγα.

### Κοντάκιον τοῦ Τριῳδίου.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Φαρισαίου φύγωμεν ὑψηγορίαν, καὶ Τελώνου μάθωμεν, τὸ ταπεινὸν ἐν στεναγμοῖς, πρὸς τὸν Σωτῆρα κραυγάζοντες· Ἵλαθι μόνε, ἡμῖν εὐδιάλλακτε.

### Εἴδησις.

Ἰστέον, ὅτι ἐν ὅλῃ τῇ ἐφεξῆς ἑβδομάδι γίνεται κατάλυσις εἰς πάντα.